*Perlegi, 16 octob. 1581, Tybingæ M. Martinus Crusius.* Τῷ θεῷ δόξα. *Vocabula ex ore d. Gabrielis* Καλωνᾶ *ascripsi 30 iun. 1582.*

Concernant ce Gabriel Calonas, dont il est question ci-dessus, on trouve dans le codex *Tybingensis Mb 37* (p. 95 et suiv.) plusieurs documents fournis par lui-même à Martin Crusius et que nous croyons devoir reproduire, à cause de l'intérêt qu'ils présentent :

## De Gabriele Calona Corinthio.

(*Venit is Tybingam 27 iunii 1582.*)

'Επορεύθηκα ἐκ τῆς πατρίδος μου Κορίνθου εἰς τὴν Κωνςαντινούπολιν καὶ γέγονα ἐφημέριος (οἱ ἱερεῖς οἱ λειτουργοῦντες ἐν τῷ ἱερῷ καλοῦνται ἐφημέριοι ἐν παντοίῳ καιρῷ) καὶ οὕτως ἐδιέτριψα ἔτη τρία ἐν τῷ πατριαρχείῳ. Ἔπειτα ἐπορεύθηκα εἰς Μακεδονίαν, εἰς Φιλίππους, ὅπου ποτὲ ὁ ἅγιος Παῦλος ἔγραψε τὰς ἐπιστολάς. Νῦν ἔςι πόλις ἔρημος, ἧς τῶν τειχῶν τὰ μὲν ἔπεσε, τὰ δὲ ἵςαται · ἔχει δεκατέσσαρας κώμας, αἵ εἰσιν ὑπὸ τὸν μητροπολίτην · δώδεκα δέ εἰσι κῶμαι τοῦ πατριάρχου καλούμεναι ςαυροπήγια (ὅτε πάλαι τις χριςιανὸς βασιλεὺς ἐποίει ἱερόν, ἔπηξεν ἐν τῷ βήματι αὐτοῦ ςαυρόν, καὶ διὰ τοῦτο καλεῖται ςαυροπήγιον). Καὶ ἤμην ἔξαρχος καὶ τοποτηρητὴς τῶν δεκατεσσάρων κωμῶν τοῦ πατριαρχείου. Ἔπειτα ἔφυγόν τινες χριςιανοὶ ἰταλοὶ αἰχμάλωτοι ἐν ταῖς χερσὶ τῶν Τούρκων, καὶ ἐλήλυθαν εἰς τήν μου οἰκίαν · καὶ ἐγὼ ἐξένισα αὐτούς · καὶ οὕτως ἐδείκνυσα τὴν ὁδὸν αὐτοῖς μετά τινος δούλου καὶ ἐπορεύθησαν. Ἔπειτα οὐκ οἶδα τίς ἔλεξεν ἐχθρὸς τῷ κυρίῳ αὐτῶν βοεβόδα, ἤγουν ἐπάρχῳ · καὶ οὗτος ἐπορεύθη (ἐλήλυθε) πρὸς τὴν ἐμὴν κώμην καλουμένην 'Ορφάνη, ἔχουσαν τετρακοσίους οἴκους, πάντας χριςιανῶν, ἀπέχουσαν τρία μικρὰ γερμανικὰ μίλλια ἀπὸ τῶν Φιλίππων, καὶ ἔλεξεν : « σὺ εἶ ὁ ἔξαρχος ἐν ταύτῃ τῇ κώμῃ ; » Κἀγὼ ἔλεξα ὅτι ἐγώ εἰμι. Αὐτὸς δὲ ἐκέλευσε τοὺς δούλους αὐτοῦ ἐμὲ δεσμεύειν, καὶ οὕτως ἐδέσμευσαν τὰς χεῖρας, καὶ ἐκόμισάν με πρὸς τὴν πόλιν Σέρρες, ὅπου μητροπολίτης Σερρῶν. Ἔςι δὲ μεγάλη πόλις ἀπέχουσα τῶν Φιλίππων πέντε μίλλια μεγάλα γερμανικά. Ἔρριψάν με ἐν τῇ εἱρκτῇ καὶ ἔμεινα μῆνας ἕξ · ἔπειτα ἔγραψα τῷ ἀδελφῷ μου ἐπιςολήν, καὶ ἐλήλυθε πρὸς μέ · καὶ αὐτὸς ἐγγυητὴς ἐγένετο περὶ ἐμοῦ μετὰ ἄλλων τινῶν χριςιανῶν διὰ ὀκτακοσίους τριάκοντα τρεῖς χρυσείους, ὅπερ ποιεῖ πεντήκοντα χιλιάδας ἄσπρων · ἑξήκοντα δὲ ἄσπρα ποιοῦσιν ἓν χρυσίον οὐγγαρικόν. Τὰ μὲν τριακόσια χρυσία ἔδωκα πρότερον, πωλήσας τὰ ἱμάτια καὶ ὅσα εἶχον · τὰ δὲ